ἔσσηι ὁμῶς, ὄφρ' ἂν γῆ τε καὶ ἠέλιος·
αὐτὰρ ἐγὼν ὀλίγης παρὰ σεῦ οὐ τυγχάνω αἰδοῦς,
ἀλλ' ὥσπερ μικρὸν παῖδα λόγοις μ'⌋ ἀπατᾶι⌊ς.

(Epigramma Deliacum)

⊗ κάλλιστον τὸ δικαιότατον· λῶ⌋ιστον ⌊δ' ὑγιαίνειν·
πρᾶγμα δὲ τερπνότατο⌋ν, τοῦ τις ἐ⌊ρᾶι, τὸ τυχεῖν.

---

⊗ ἵππος ἐγὼ καλὴ καὶ ἀεθ⌋λίη, ἀλλὰ κάκι⌊σ⌋το⌊ν
ἄνδρα φέρω, καί μοι τ⌋οῦτ' ἀνιηρότατον.
πολλάκι δὴ 'μέλλησα δ⌋ιαρρήξασα χαλ⌊ινὸν
φεύγειν ὠσαμένη τὸν κακ⌋ὸν ἡνίοχ⌊ον. ⊗

---

⊗ οὔ μοι πίνεται οἶνος, ἐπεὶ παρ⌋ὰ παιδὶ τε⌊ρείνηι
ἄλλος ἀνὴρ κάλ' ἔχει πολλὸν⌋ ἐμοῦ κ⌊ακίων.

---

⊗ ψυχρόν που παρὰ τῆιδε φίλοι π⌋⌊ίν⌋ουσι τ⌊οκῆες,
ὡς θαμά θ' ὑδρεύει καί με γοῶσ⌋α φέρει,
ἔνθα μέσην περὶ παῖδα λαβὼν⌋ ἀγκῶν' ἐφί⌊λησα
δειρήν, ἡ δὲ τέρεν φθέγγετ' ἀ⌋πὸ στόμ⌊α⌋τ⌊ος. ⊗

---

γνωτή τοι Πενίη γε καὶ ἀλλοτρίη πε⌋ρ ἐο⌊ῦσα·

255-6 Arist. *Eth. Nic.* 1. 8. 14 p. 1099$^a$27 (τὸ Δηλιακὸν ἐπίγραμμα); id. *Eth. Eud.* A 1 p. 1214$^a$5 (ἐπὶ τὸ προπύλαιον τοῦ Λητῴου); Stob. 4. 39. 8